καὶ ἐξ αὐτῆς τῆς τοῦ κόσμου κατασκευῆς δῆλον. Οὐδὲ γὰρ ἄν τις παναρμόνιον λύραν ἢ οἰκίαν περικαλλῆ καὶ εὔδμητον θεασάμενος, οὐκ ἐν περινοίᾳ τοῦ ταύτης ποιητοῦ καὶ δημιουργοῦ γενήσεται. Πῶς γάρ, εἰπέ μοι, εἰ μή τις Πρόνοια ἡ τὸ πᾶν διιθύνουσά τε καὶ συντηροῦσα, οὑτοσὶ ὁ ῥευστὸς καὶ παντοίαις δουλεύων τροπαῖς κόσμος συνέστη; Γῆ μέν, τὸ βαρὺ τοῦτο καὶ κατωρεπὲς στοιχεῖον πάντοθεν περικλυζόμενον ὕδατι, καὶ μηδαμοῦ πεπηγός, ἀκλινὲς ἱστάμενον, καὶ πῇ μὲν τὸ γλυκύ, πῇ δὲ τὸ πικρόν, καὶ πῇ μὲν τὸ θερμόν, πῇ δὲ τὸ ψυχρὸν ἀναδιδὸν ὕδωρ, ἔσθ' ὅπῃ κηρόν τε καὶ θεῖον καὶ ἅλας καὶ ἄσφαλτον ἐν ἑτέρῳ καὶ ἄλλοθι σποδὸν καὶ ἑτέρωθι πῦρ ἄκρατον, ἐν ἑτέρῳ δὲ πῦρ κεκραμένον ὕδατι καὶ σκώληκας γέμον, ὢ τοῦ θαύματος! εἰς πίστωσιν τῆς μενούσης || τοὺς ἁμαρτωλοὺς καταδίκης; Αὐτὸς δὲ ὁ f 213v
οὐρανός, ἵνα τῶν δύο ἄκρων ἐπιμνησθεὶς τὰ μεταξὺ καταλείψω ὡς περιεχόμενα, οὕτω περιφερὴς καὶ κρυσταλλοειδής, ἀτρέμας καὶ ἀκλινής, ἐπ' οὐδενὸς βεβηκώς, ἄστρασί τε κεκασμένος παντοδαποῖς καὶ ἑτεροπορεύτοις, ἀψύχοις τὸ παράπαν καὶ ἀναισθήτοις, ταῖς αὐτῶν πορείαις κεκριμένων τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ ἀναλλοιώτως, εἰ μὴ ἦν ὁ κατὰ φύσιν ἀναλλοίωτος καὶ ὁ ταῦτα διακρατῶν;

Ἀλλ' ἐρεῖς μοι, ὅτι αὐτὸς ὁ κόσμος ἐστὶν ὁ Θεός. Καὶ τίς ἂν μὴ γελάσειε τῆς παροινίας, τὸν οὕτω τρεπτὸν καὶ ὑπὸ τῶν αὐτῶν δουλούμενον ὡς τούτων ὑπηρέτην καὶ ὑπὸ χρόνον κείμενον καὶ φθορᾷ, ἀναίσθητόν τε καὶ ὑφ' ἑτέρου κινούμενον λέγοντα Θεόν; Ἰδοὺ γὰρ ἑπτακισχιλίων ἐτῶν καὶ πεντήκοντά ἐστιν ὁ σὸς Θεός· τίς οὖν ὁ παραγαγὼν αὐτὸν εἰς τὸ εἶναι; Ὅτι δὲ καὶ δοῦλος τῶν ἀνθρώπων οὐ μόνον ἐκ τῶν νῦν γινομένων, ἀλλὰ καὶ ἐκ τῶν ἤδη γεγονότων καταλαβεῖν ἐστιν. Ὁ γὰρ Μωϋσῆς τῇ δυνάμει καὶ νεύσει τοῦ μόνου Θεοῦ τὴν ἄβατον θάλασσαν τεμὼν διέβη, καὶ ὅσα ἔν τε Αἰγύπτῳ καὶ ἐν ἐρήμῳ ὑπ' αὐτοῦ ἐτελέσθη, δυσχερὲς νῦν || διεξελθεῖν. Ὁ δὲ τούτου διάδοχος Ἰησοῦς τὸν f 214 r
Ἰορδάνην ὡσαύτως διεῖλε, καὶ τὸ περιφανὲς τουτὶ ἄστρον, τὸν ἥλιον, τοῦ δρόμου ἔστησεν, ἀνάγκης κατεπειγούσης. Καὶ Ἠλίας ὁ Θεσβίτης τὰς νεφέλας ἐκώλυσεν ὕειν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. Καὶ ἕτεροι πλεῖστοι πρό τε τῆς Χριστοῦ οἰκονομίας καὶ μετὰ ταῦτα τὰ παραπλήσια ἔδρασαν. Οἱ δὲ τῇ εἱμαρμένῃ τιθέντες τὸ πᾶν καὶ τὴν τῶν ἀνθρώπων γένεσιν ὑπὸ τοῖς ἄστρασι, πῶς οὐκ ἂν εἶεν καταγέλα-

[1a]) ἐν τῇ ὤᾳ: κατὰ Ἑλλήνων.

[10]) ἑτέρωθι] BN [15]) ἴσως: κεκοσμημένος. [16]) ὧν ταῖς πορείαις κεκριμέναι αἱ ὧραι] N [30]) Θεσβήτης] BN [34]) πῶς οὐ καταγέλαστοι] N

Ε.Ι.ΙΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στοι, τοῖς οὕτω φερομένοις καὶ τρεπτοῖς τὸν ἡμέτερον βίον τάξαντες; Εἰ γὰρ ἐξ ἀνάγκης ὁ ἐν τῷδε τῷ ἄστρῳ ἢ τῷ καιρῷ γεννηθείς, τοιόσδε ἀποβήσεσθαι μέλλει καὶ τόδε παθεῖν, καὶ ὁ ἐν ἑτέρῳ ἄλλως, πῶς πολλοὶ τῷ αὐτῷ καιρῷ καὶ τοῖς αὐτοῖς ἄστρασι γεννηθέντες οὐχ ὅμοιοι ἐγένοντο, ἀλλ᾽ ὁ μὲν πλούσιος, ὁ δὲ πένης, καὶ ὁ μὲν ἄρχων, ὁ δὲ ἰδιώτης, καὶ ἄλλος ἄλλως; Πῶς δὲ καὶ οἱ μὴ τῇ αὐτῇ ῥοπῇ γεννηθέντες ὁμοίου τέλους ἔλαχον, ὡς ἐν πολέμῳ ἢ ναυαγίῳ ἢ ἑτέρῳ τοιούτῳ; Εἰ οὖν ὑπ᾽ ἀνάγκην ἐστὶν ὁ ἡμέτερος βίος, ἄρα οὐδ᾽ ὁ ἀγαθὸς ἐπαινετός, f 214v οὐδ᾽ ὁ πονηρὸς || μεμπτέος, ἐπεὶ οὐκ ἐξ ἰδίας προαιρέσεως ποιεῖ ἑκάτερος ὃ ποιεῖ, ὑπὸ τῆς ἀνάγκης εἰς τοῦτο ὠθούμενος. Ἀλλ᾽ ὄντως «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεός». Ἡμεῖς δ᾽ οὕτως ἀνηγεμόνευτοι ἐπὶ πολὺ στέγειν μὴ δυνάμενοι, ἕνα Θεὸν τοῦ παντὸς συνοχέα τε καὶ ποιητὴν ὁμολογοῦμεν, ἀκατάληπτον, ἀπερίγραπτον, ἀπεριόριστον, ἀπερινόητον, ἀόριστον, ἀναλλοίωτον, ἀγαθόν, παντοδύναμον, σοφόν, δίκαιον, ἁπλοῦν, ἀΐδιον, ὑπερτελῆ, ἕνα καὶ οὐ πολλούς. Ἐπείπερ ἐν τοῖς πολλοῖς διαφορὰ πάντως γνωμῶν, τάξεώς τε καὶ ἡγεσίας, καὶ οὔτε τὸ ἀπερίγραπτον ἐν τούτοις διασωθήσεται, οὔτε τὸ ἀκατάληπτον, οὔτέ τι ἕτερον τῶν ἁρμοζόντων Θεῷ. Πῶς γὰρ ἀπερίγραπτος ὁ ἐν τόπῳ, πῶς τέλειος ὁ τοῦδε τοῦ μέρους λαχών, πῶς παντοδύναμος; Τί δὲ καὶ τὸ διεῖργον αὐτούς, πολλοὺς ὄντας, ἀπ᾽ ἀλλήλων; Τίς ὁ συμβιβάζων τὰς αὐτῶν διαφόρους γνώμας; Οὕτως οὖν ἐχόντων, τὸ πᾶν οἴχεται, Θεῶν μὴ ὄντων ἀληθινῶν. Εἰ δὲ καὶ ἔστι τίς ὁ συμβιβάζων, καὶ οὕτως ἄρα f 215r εἷς καὶ μόνος λογισθείη Θεός, ᾧ τινι ἡ κυριότης τοῦ παντὸς || ἐξήρτηται.

Θεοῦ τοίνυν ὁμολογουμένως ὄντος καὶ ἑνὸς ὄντος, δεῖ ὁμολογεῖν αὐτοῦ καὶ κίνησίν τινα λογικήν. Ἐπεὶ οὐκ ἂν εἴη Θεός, οὕτω διακείμενος ἄλογος καὶ ἀκίνητος καὶ οἷον ἄπνους τις, ἀλλὰ μῦθος μᾶλλον καὶ διανοίας ἀνάπλασμα. Κινεῖται οὖν ὁ Θεὸς οὐχ ὥσπερ τὰ κτίσματα, ταῦτα γὰρ καὶ τρεπτὰ καὶ ὑπὸ τοῦ δημιουργοῦ κινοῦνται, αὐτὸς δὲ οὐχ ὑπό τινος, οὐδὲ ἐν τόπῳ. Πῇ γὰρ καὶ κινηθήσεται ὁ τὰ πάντα πληρῶν; Ἀλλὰ κινεῖται μὲν ἐν τῷ γεννᾶν τὸν Υἱὸν αὐτοῦ καὶ Λόγον, ἐκπορεύων δὲ τὸ Πνεῦμα τὸ Ἅγιον. Κινεῖται δὲ καὶ ὁ Υἱὸς ἐν τῷ γεννᾶσθαι καὶ τὸ Πνεῦμα ἐν τῷ ἐκπορεύεσθαι, μιᾷ καὶ ἁπλῇ τῇ κινήσει, εἰ καὶ ἡ ὕπαρξις ἑκάστου διάφορος, καὶ εἰ θέμις εἰπεῖν, ὥσπερ φυτὸν ἅμα τῷ καρπῷ καὶ τῷ ἄνθει. Οὐ λῆξιν δὲ ἔχει ἡ τοιαύτη κίνη-

10) Ψαλμ. 13,1   24) ἐν τῇ ᾤᾳ: κατὰ Ἰουδαίων, Σαρακηνῶν, Σαβελλιανῶν καὶ Μασαλιανῶν   26) ἐν τῇ ᾤᾳ Β. σχόλιον ἐξίτηλον.

14) ἀόριστον, ἀναλλοίωτον] λείπουσι Ν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σις, ἐπεὶ αὖθις πολυαρχία καὶ ὁμοίως τοῖς θνητοῖς καὶ ῥευστοῖς ἀνθρώποις γεννᾷ. Ἀλλ' ὑπὲρ οὐσίαν ὄντως ἐστὶν ἐν αὐτῷ ἡ γέννησις καὶ ἡ ἐκπόρευσις, ἐν αὐτῷ πάντοτε κινουμένη, ὡς οἶδεν αὐτὸς μόνος ὁ ἀκατάληπτος. Παράδειγμα δὲ ἐπὶ τούτῳ ἔστω σοι ἕτερον ὁ αἰσθητὸς ἥλιος, ἐν αὐτῷ πάντοτε τὴν κίνησιν τῶν αὐτοῦ ἀκτίνων καὶ τοῦ φωτὸς ἔχων. Ἀλλ' ἰδού, φησίν, ἀκατάληπτον αὐτὸν λέγοντες, πόθεν ἔγνωτε τὴν || τοιαύτην ἐπ' αὐτοῦ κίνησιν; Ἐκ τῆς παρ' αὐτοῦ ἐμπνευ- f 215v σθείσης θείας Γραφῆς πάντως. Οὐ γὰρ ἐν παντελεῖ ἡμᾶς ἀκαταληψίᾳ ἀφῆκεν ὡς τὰ κτήνη, ἵνα ἐκ μέρους καταλαμβανόμενος δοξάζηται παρ' ἡμῶν. Κεχρήμεθα δὲ τοῖς συλλογισμοῖς καὶ παραδείγμασιν εἰς πίστωσιν τῆς θείας Γραφῆς. Ἀλλ' οὕτως οὐ μόνον οὐκ ἔσχε τέλος ἐν αὐτῷ ἡ τοιαύτη κίνησις, ὡς εἴρηται, ἀλλ' οὐδὲ ἀρχήν. Οὐ γὰρ ἦν ποτε χωρὶς Λόγου καὶ Πνεύματος, ἵνα μὴ πρὸ τούτου ἀτελὴς λογισθείη. Εἰ δὲ πρὸ τῶν αἰώνων τὰ ἐξ αὐτοῦ σὺν αὐτῷ, δῆλον ὅτι καὶ ἐνυπόστατα. Οὐ γὰρ ὥσπερ ὁ ἡμέτερος λόγος καὶ τὸ πνεῦμα εἰς ἀέρα χωρεῖ, οὕτω καὶ ταῦτα, ἐπεὶ κατὰ τοῦτο τρεπτὸς καὶ ἐμπαθὴς ἂν ἐλογίσθη Θεός, ἀλλ' ἐν αὐτῷ εἰσιν ἀϊδίως, ἐξ αὐτοῦ τὴν ὑπόστασιν ἔχοντα.[24] Διὰ τοῦτο οὐδὲ τὸ Πνεῦμα λέγεται γεννᾶν, ἵνα μὴ σύνθεσιν ἢ διαίρεσιν ἐπὶ τῆς ἁπλῆς καὶ θείας φύσεως νοήσωμεν καὶ οὕτω καὶ τὸ Πνεῦμα Υἱὸς λογισθείη. Εἷς γὰρ ἐστιν ὁμονογενὴς Υἱὸς τοῦ Θεοῦ, καθὼς ὁ τῆς βροντῆς υἱὸς ὁ Ἰωάννης βοᾷ. Ἀλλὰ γεννᾷ μὲν τὸν Υἱὸν ὁ Πατήρ, ἐκπορεύει δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς μόνος οἶδεν αὐτός, || ἀτρέπτως f 216r καὶ ἀναλλοιώτως, ὥς τις ἀέναος πηγή. Διὸ καὶ ὁ προφήτης ἐκ προσώπου τοῦ Υἱοῦ φησι. «Καὶ εἶπε πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»· τοῦ μὲν «σήμερον» τοῦ ἀεὶ ὄντος δηλωτικοῦ, τοῦ δὲ «γεγέννηκά σε» τοῦ τελείου τῆς ὑποστάσεως. (Πανταχοῦ δὲ ὢν ὁ Θεός, πανταχοῦ ἐστι καὶ ὁ Λόγος αὐτοῦ καὶ τὸ Πνεῦμα συμπαρεκτεινόμενα. Ἀλλὰ δὴ καὶ ὑπὲρ τὸ πᾶν εἰσιν, ἐν ἀλλήλοις δῆλον ὅτι τὰ τρία ὄντα ἀδιαιρέτως καὶ ἀσυγχύτως ὑπὲρ νόησιν πᾶσαν καὶ κατάληψιν, ἐπεὶ καὶ ὑπερούσια, Θεὸς ἕκαστον ἰδίως νοούμενον.) Εἷς δὲ Θεὸς τὰ τρία, διὰ τὴν ἐν ἀλλήλοις περιχώρησιν καὶ τὸ ἑνιαῖον τῆς φύσεως καὶ ἀδιαίρετον, Πατὴρ μένων ὁ Πατὴρ ἐσαεί, Υἱὸς δὲ ὁ Υἱός, καὶ Πνεῦμα τὸ πανάγιον Πνεῦμα. Εἰ γὰρ ὁ αὐτὸς Πατὴρ ἦν ὁ αὐτὸς καὶ Πνεῦμα καὶ Υἱός, οὐ κατὰ ἀλήθειαν τί ποτ' οὖν ἄρα ἦν, ἀλλὰ μόνῳ ὀνόματι· τάχα οὐδὲν ὅλως ἦν, ἄλλως ἄλλοτε νοούμενος, διὸ καὶ τρεπτὸς καὶ ἀλλοιωτός. Πατὴρ γὰρ τινός ἐστι πατήρ, καὶ Υἱὸς τινός ἐστιν υἱός, καὶ Πνεῦμα τινός ἐστι πνεῦμα. Ὥστε εἷς Θεὸς ἐστι, τοῖς ὁμοειδέσιν ὑποστάσεσιν νοούμενος.

24) Ψαλ. 2, 7.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Λοιπόν, σὺν Θεῷ, καὶ ἐπ' αὐτὴν τὴν θείαν Γραφὴν χωρήσωμεν, τὸν Θεὸν αὐτὸν ἀριδήλως δεικνύουσαν ‖ μόνον Θεὸν καὶ ποιητὴν τοῦ παντός, ἔχοντά τε Λόγον καὶ Πνεῦμα αὐτῷ ὁμοούσια. «Κύριος γάρ φησιν ὁ Θεός σου, Κύριος εἷς ἐστι»· καὶ ὁ Χριστός, «ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»· καὶ ὁ Ἀπόστολος, «ἡμῖν εἷς δὲ Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ»· ὁ δὲ Ἰώβ, «ζῇ Κύριος ὃς οὕτω με κέκρικε καὶ ὁ παντοκράτωρ ὁ παραπικράνας μου τὴν ψυχὴν»· καὶ «πνεῦμα θεῖον τὸ περιὸν ἐν ῥισίμου»· καὶ ὁ Ζαχαρίας ἐκ προσώπου τοῦ Θεοῦ, «ὅσα ἐγὼ ἐντέλλομαι τῷ πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις»· καὶ ὁ Δαυΐδ, «τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν», καὶ «πάντα ἐν σοφίᾳ ἐποίησας»· καὶ ὁ τούτου παῖς Σολομῶν, «ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν» καὶ τὰ ἑξῆς. Χριστὸς δὲ ἐστι «Θεοῦ δύναμις καὶ Θεοῦ σοφία», κατὰ τὸν Ἀπόστολον, «δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν». Οὐ ποίημα τοίνυν οὐδὲ ὑπὸ χρόνον ὁ τῆς κτίσεως καὶ τῶν αἰώνων ποιητής. Τίνος δὲ χάριν πολλοῖς ὀνόμασι χρῆται ἡ θεία Γραφὴ ἐπὶ τοῦ Υἱοῦ καὶ Λόγου, παρακατιὼν ὁ λόγος δηλώσει. «Καὶ εἶπε, φησίν, ὁ Θεός. Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν». Οὐκ ἔστιν οὖν εἰπεῖν, ‖ ὅτι πρὸς τοὺς ἀγγέλους τοῦτο εἴρηκε, συμβούλους καὶ συνεργάτας εἰς τοῦτο καλούμενος, ὄντας ποίημα αὐτοῦ, ἀλλὰ πρὸς τὸν Υἱὸν αὐτοῦ καὶ τὸ Πνεῦμα. Ὧν γὰρ ἡ οὐσία μία, τούτων καὶ ἡ εἰκὼν μία· Θεοῦ δὲ καὶ ἀγγέλων οὐθ' ἡ οὐσία, οὔτε ἡ εἰκὼν ἡ αὐτή. Καὶ αὖθις «γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν», τῶν ἐν Τριάδι δῆλον ὅτι· ἢ εἰρωνικῶς τοῦτο εἰρηκὼς ἢ ὅτι ἔμελλε μετὰ ταῦτα ὁ Υἱὸς σαρκοῦσθαι αἰνίττεται. Καὶ πάλιν εἶπεν ὁ Θεὸς «δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶσσαν». Καὶ πάλιν «ἔβρεξεν ὁ Κύριος παρὰ Κυρίου πῦρ καὶ θεῖον», ἤτοι ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἐν τῷ ἀφῖχθαι αὐτὸν ἐκ τῆς σκηνῆς Ἀβραὰμ εἰς Σόδομα. Ταῦτα τοίνυν καὶ ἕτερα πλεῖστά εἰσι παρὰ τῇ θείᾳ Γραφῇ, ἐναργῶς διδάσκοντα ἡμᾶς τὴν θεαρχικὴν καὶ

[1]) ἐν τῇ ᾤᾳ : κατὰ Μανιχαίων καὶ Παυλικιανῶν, δύο ἀρχὰς δοξαζόντων, καὶ Ἀρειανῶν καὶ Ἀγαρηνῶν, κτίσμα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ληρούντων, καὶ Ἰουδαίων τὸ τριττὸν τῆς ὑποστάσεως μὴ δεχομένων. [4]) Ἰωάν. 17, 3. [5]) Α' Κορ. 8,6 [8]) Ἰὼβ 27, 2 - 3 [10]) Ζαχ. 15 [11]) Ψαλμ. 32,6 [13]) Ψαλμ. 103,24 [14]) Παροιμ. 3,19 [15]) Α' Κορ. 1,25 [16]) Ἑβρ. 1,2 [19]) Γεν. 1,26 [20]) Γεν. 3,22 [27]) Γεν. 1,17 [28]) Γεν. 19,24

[27]) δεῦτε καταβάντες ) B N

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἁπλῆν Ἁγίαν Τριάδα. Ἡ δὲ νέα Γραφὴ σαφέστερον τὸν Υἱὸν καὶ τὸ Πνεῦμα παρίστησι Θεὸν ἀληθινὸν ἔκ τε τῶν ἐνεργειῶν αὐτῶν, ἔκ τε τῶν ῥημάτων, ὧν διῆλθεν ὁ Χριστὸς καὶ οἱ θεῖοι αὐτοῦ Ἀπόστολοι, ἀλλὰ μὴν καὶ τῆς ὑποστάσεως τὸ διάφορον καὶ τὸ ταὐτὸν τῆς φύσεως. Ἡ γὰρ παλαιὰ διὰ τὸ ἐπτοεῖσθαι τοὺς Ἰουδαίους εἰς πολυθεΐαν καὶ εὐκινήτους εἶναι πρὸς τοῦτο, οὐ γυμνῶς διδάσκει τὴν θεότητα Υἱοῦ καὶ Πνεύματος, ἀλλά τισι παραπετάσμασι. Διά τοι τοῦτο καὶ διαφόροις ὀνόμασι κέχρηται περὶ τοῦ Υἱοῦ, ἵνα λάθῃ τὴν τούτων ὀλισθηρὰν γνώμην. Τοίνυν ὁ Χριστὸς τό τε διάφορον τῶν ὑποστάσεων || δηλῶν τό τε f 217v ὁμόσεπτον φησὶ πρὸς τοὺς μαθητάς. «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος».

Ἀλλὰ τί πρὸς τοῦτο, φασὶν οἱ ὄντως παλίμβουλοι καὶ ἀλλόκοτοι, οὐχὶ καὶ εἰς τὸν Μωϋσῆν ὁ κατ' αὐτὸν λαὸς ἐβαπτίσατο, ὥς φησιν ὁ Ἀπόστολος; Ὦ τῆς κακοβουλίας! ὅτι μὲν εἰς τὸν Μωϋσῆν ἐβαπτίσθη ἔγνωτε, ὅτι δὲ οὐδεμία ἐντεῦθεν ἄφεσις ἁμαρτιῶν καὶ ἀναγέννησις σαρκὸς καὶ πνεύματος οὐκ ἔγνωτε; Τύπος γὰρ ἦν ἐκεῖνο τουδὶ τοῦ βαπτίσματος. Καὶ τὸ μὲν ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἀναγεννᾷ καὶ ἀνακαινίζει τὸν βαπτιζόμενον, καθαρὸν πάσης ἁμαρτίας ἀποδεικνύον, ὡς Θεοῦ ὄνομα ἐπικαλούμενον. Γέγραπται γὰρ ὅτι εἶπε Πέτρος πρὸς τὸν λαόν. «Μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος». Τὸ δὲ Μωϋσέως ὄνομα, μᾶλλον δὲ αὐτὸς ὁ Μωϋσῆς, οὐδὲν ἰσχύει πρὸς τὰ τοιαῦτα, ἅτε κτιστός. Εἰ δὲ τὸ ὄνομα ἐπιβοώμενον ἀνακαινίζει πολλῷ μᾶλλον αὐτὴ ἡ Ἁγία Τριάς. Ὅτι δὲ βαπτιζόμενοι εἰς τὸ τῆς Ἁγίας || Τριάδος ὄνομα, καὶ εἰς αὐτὴν f 218r βαπτιζόμεθα καὶ ἀνακαινιζόμεθα, ἄκουσον τοῦ Χριστοῦ καὶ τοῦ Ἀποστόλου λέγοντος, τοῦ μὲν «ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ», τοῦ δὲ «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε». Τὸ αὐτὸ δ' ἄν τις ἴδοι καὶ ἐπὶ τῶν ἰάσεων, τὸ ὄνομα μόνον τοῦ Χριστοῦ ἐπικαλούμενον καὶ ἰώμενον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Ἐπὶ δὲ τῷ ὀνόματι Μωϋσέως ἢ ἄλλου τινὸς τῶν προφητῶν οὐδεὶς ἴαθη ποτέ. Πρὸς δὲ τούτῳ καὶ ἕτερόν τι παραπλήσιον πανούργως προτείνονται

15) ἐν τῇ φα: κατὰ Παυλικιανῶν καὶ Μασαλιανῶν καὶ Βογομίλων, ἀθετούντων τὸ ἅγιον βάπτισμα 10) Ματθ. 28, 19 21) Πράξ. 2, 38. 28) Ἰωάν. 3, 5. 30) Γαλ. 3, 27 34) ἐν τῃ φα: κατὰ Ἀρειανῶν καὶ Μακεδονιανῶν

Ε.Υ.Δ ΤΜΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οἱ θεομάχοι καὶ τῆς ἀληθείας πολέμιοι, κἀκ τούτου πιστῶσαι πειρώμενοι, ὅτι οὐδὲ ἡ εἰς Χριστὸν πίστις ὅλως τί ἐστι. Καὶ φασί, γέγραπται ὅτι «ἐπίστευσεν ὁ λαὸς τῷ Θεῷ καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ»· ἰδοὺ καὶ εἰς τὸν Μωϋσῆν ἐπίστευσεν ὁ λαός. Ἴδε οὖν πόσα συμπλέκουσιν οἱ ἄθλιοι, ἵνα μόνον ἑαυτοὺς ἀπορρήξωσι τῆς Ἁγίας Τριάδος. Ἐπεὶ εἴπερ εὐγνωμόνως ἐβούλοντο, εὐχερὴς ἦν ἡ λύσις τοῦ ζητουμένου. f 218v Οὐ γὰρ εἶπεν, ὅτι ἐπίστευσεν || εἰς τὸν Μωϋσῆν, ὡς αὐτοὶ κακοτρόπως νοοῦσιν, ἀλλὰ τῷ Μωϋσεῖ, ἤτοι τοῖς μαρτυρηθεῖσιν ὑπὸ Μωϋσέως. «Εἰ ἐπιστεύετε γάρ, φησί, Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί»· οὐδὲ ἐκείνῳ τοιγαροῦν ἐπιστεύσατε λαλοῦντι περὶ ἐμοῦ, οὐδὲ ἐμοὶ πιστεύετε.

Ἐπεὶ δὲ καὶ ἐν τούτῳ ἡ ἔνστασις αὐτῶν λέλυται, ἕτερόν τι καὶ αὖθις ἐπιφέρουσιν οἱ ἀλιτήριοι καὶ ὄντως ἄτακτοι, κλίμακα ἐπὶ τῆς ὁμοουσίου καὶ ἰσοτίμου Τριάδος καὶ ὑπόβασιν Υἱοῦ καὶ Πνεύματος ἀναλόγως τῇ παρ' αὐτῶν ἐπεισαγομένῃ σαθρᾷ κλίμακι, ἀφορῶντες πάντως τῇ εὐταξίᾳ τοῦ ἀριθμοῦ τῶν ὑποστάσεων. Ἀλλὰ καὶ πρὸς τοῦτο ἀποκρινόμεθα, ὅτι ὁ Πατήρ, ἅτε αἴτιος ὢν Υἱοῦ καὶ Πνεύματος, ἁρμοζόντως καὶ προτέτακται τῷ ἀριθμῷ, ὁ δὲ Υἱὸς μετ' αὐτόν, διὰ τὴν πρὸς ἄλληλα σχέσιν τῶν ὀνομάτων, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ὑποτέτακται τοῦ Υἱοῦ, διὰ τὸ ὕστατον δι' αὐτοῦ φανερωθῆναι τῷ κόσμῳ, ἐπιδημῆσαν τοῖς ἁγίοις Ἀποστόλοις. Ὅταν δὲ καὶ τὸν Υἱὸν ἴδωσιν ἐν ἑτέρῳ προτεταγμένον τοῦ Πατρός, τί φήσουσιν οἱ ἀλάστορες; «Ἡ χάρις, γάρ φησι, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ f 219r Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος». || Ἔδει οὖν τοῖς ῥηθεῖσιν ἀρκεσθῆναι καὶ μὴ περαιτέρω τὸν λόγον ἀγαγεῖν. Ἐπεὶ δ' αὐτοὶ πάντα λίθον κινοῦσι κατὰ τῆς ὑγιοῦς πίστεως, φέρε δὴ καὶ ἡμεῖς ὥς τισιν ἀκροβολισμοῖς τοῖς θείοις λογίοις αὐτοὺς βάλλωμεν, μέχρις ἂν παύσωνται τὴν ἀλήθειαν πολιορκοῦντες. Λέγει τοιγαροῦν ὁ Χριστός. «Ὥσπερ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ». Ἔδωκε δὲ ὡς αἴτιος δῆλα δὴ τῷ ἐν αὐτῷ ὑποστάντι ἀϊδίως καὶ ὑπὲρ χρόνον. Διὸ καὶ ἐν ἑτέρῳ φησίν. «Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Καὶ περὶ τοῦ Πνεύματος, «τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν»· καὶ ὁ προφήτης, «ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς». Εἶδες ἰσοδυναμίαν ἐπὶ τῆς Ἁγίας Τριάδος; Καὶ πάλιν ὁ Χριστός, «οὐδεὶς οἶδε τὸν Υἱόν,

3) Ἐξόδ. 14, 31  9) Ἰωάν, 5. 46  11) ἐν τῇ ᾠᾷ : κατὰ Ὠριγένους καὶ Ἀπολιναρίου καὶ Εὐνομίου.  28) Ἰωάν. 5, 26  31) αὐτ. 21  32) αὐτ. 6, 23  33) Ψαλμ. 103,30  35) Ματθ. 11,27

Επ. Δ. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

εἰ μὴ ὁ Πατήρ, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι». Καὶ πάλιν, οὐδεὶς γινώσκει τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τὸ οἰκοῦν ἐν αὐτῷ, καὶ οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ. Ὁρᾷς κἀνταῦθα ταὐτότητα γνώσεως; || Σκόπει λοιπὸν καὶ ταὐτότητα φύσεως διὰ τῶν ἑξῆς.«Ἐγώ, φησί, καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν», f 219v
τῷ γεγονότι δῆλα δὴ ναῷ τούτων καὶ ἀξίῳ τῆς ὑποδοχῆς αὐτῶν. Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος γράφει Παῦλος. «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός». Οὐ μὴν δέ, ἀλλὰ καὶ τὴν αὐτὴν ἐνέργειαν δηλῶν τῶν τριῶν προσώπων αὖθις ὁ Κύριος οὕτω φησίν. «Οὐδεὶς ἔρχεται πρός με, εἰ μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν, καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ»· ὡς καὶ ὁ Ἀπόστολος Παῦλος. «οὐδείς, φησι, δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ». Ὅτι δὲ καὶ ἡ κυριότης καὶ δεσποτεία κοινή, δῆλον ἐκ τῶν ἑξῆς. Ὁ μὲν γὰρ Χριστὸς πρὸς τὸν Πατέρα φησίν. «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς» καὶ πρὸς τοὺς μαθητάς, «ὑμεῖς φωνεῖτέ με ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ»· καὶ ὁ Ἀπόστολος, «ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν». Ὅτι δὲ καὶ ἀπερίγραπτον ἕκαστον τῶν τριῶν προσώπων, περὶ μὲν τοῦ Θεοῦ καὶ Πατρὸς φησὶν ὁ προφήτης Ἱερεμίας. «Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος;» Περὶ δὲ || τοῦ Υἱοῦ αὖθις ὁ Ἀπόστολος, f 220r
«ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα». Τὸ δ' αὐτὸ καὶ περὶ τοῦ Ἁγίου Πνεύματός φησιν ὁ Δαυΐδ. «Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου;». Τὸ δὲ εἰπεῖν οὕτως, ὅτι καὶ τὸ Ἅγιον Πνεῦμα πληροῖ τὰ πάντα ἐδήλωσεν. Εἶδες λοιπὸν ἀπαραλλαξίαν ἐπὶ τῆς Ἁγίας Τριάδος; (Ἅπαντα γὰρ κοινὰ ἐν αὐτοῖς, πλὴν τῆς ὑποστατικῆς ὑπάρξεώς τε καὶ ἰδιότητος.) Καὶ ταῦτα μὲν ἐκ πολλῶν ὡς ἐν συντόμῳ διήλθομεν, ἀφορμήν τινα ἐντεῦθεν διδόντες τοῖς φιλολόγοις. Ἡμεῖς δὲ ἐπὶ τὰ πρόσω χωρήσωμεν.

Ἐπειδὴ δέ τινες ἰδίᾳ τὸν Υἱὸν βλασφημοῦσιν, ἕτεροι δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, φέρε δὴ καὶ ἡμεῖς ἰδίᾳ καὶ κεκριμένως θεολογήσωμεν. Καὶ περὶ μὲν τοῦ Υἱοῦ φησὶν ὁ Εὐαγγελιστής. «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος». Ἀρχὴν δὲ ἐν-

2) Α´ Κορ. 2,11 5) Ἰωάν. 14, 23 8) Α´ Κορ. 3,14 12) Ἰωάν. 6, 44. 14,7 14) Α´ Κορ. 12, 3 16) Λουκ. 10, 21. 18) Ἰωάν. 13, 13. 21) Ἱερ. 23, 25. 23) Ἐφεσ. 4, 10. 25) Ψαλμ. 138, 7 31) ἐν τῇ φᾳ: κατὰ Ἀρειανῶν καὶ Νεστοριανῶν 33) Ἰωάν. 1, 1.

Ε.Υ.Δ.Π.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ταῦθα τὸν Πατέρα δεῖ νοεῖν. Αὐτὸς γάρ ἐστιν ἀρχὴ πάσης ἀρχῆς. Ἐπεὶ οὐδὲ ἐν ἀρχῇ τοῦ κόσμου ἔφησεν εἶναι τὸν Λόγον, ἀλλ' ἀπολύτως «ἐν ἀρχῇ ἦν ὁ Λόγος». Εἰ δὲ καὶ τοῦτο δώσομεν, ὅτι ἐν ἀρχῇ τοῦ κόμου εἶπεν εἶναι τὸν Λόγον, οὐδ' ἐντεῦθεν ἄτοπόν τι ἕψεται· ἐπείπερ οὐκ εἶπεν, || ἐν ἀρχῇ ἐγένετο, ἵνα καὶ ὑπὸ χρόνον καὶ κτίσμα αὐτὸν νομίσῃς, ἀλλ' ἦν, τοῦ ἀεὶ παραστατικὸν ὑπάρχον τὸ ἦν, ὡς καὶ τὸ «ὁ μονογενὴς Υἱὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός», καὶ τὸ παρὰ τῷ Ἀποστόλῳ εἰρημένον, «ὃς ὢν ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ». Οὐδέποτε γὰρ ἦν ἀπαυγάσματος χωρὶς ὁ Πατήρ, ὃ καὶ φῶς ἐνταῦθα καλεῖ ὁ Εὐαγγελιστής, οὐδὲ χαρακτῆρος, ἅτινα τὸ ταὐτὸν τῆς οὐσίας καὶ τὸ τέλειον τῆς ὑποστάσεως δηλοῖ. Πανταχοῦ δὲ ὢν ὁ Πατὴρ καὶ πάντοτε, ὡσαύτως σὺν αὐτῷ ἐστι καὶ τὸ τούτου ἀπαύγασμα· διὸ καὶ ἐν κόλποις αὐτοῦ εἶναι λέγεται. Πρὸς τοῦτο οὖν συμβάλλεται καὶ τὸ «ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμέν», καὶ τὸ «ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί», τὸ συναφὲς δηλῶν πρὸς τὸν Πατέρα καὶ ὁμοούσιον καὶ τὴν ἐν ἀλλήλοις διόλου τῶν ὑποστάσεων περιχώρησιν. Διὸ καὶ ἐπήγαγεν ὁ Εὐαγγελιστής, «καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος». Πᾶς γὰρ υἱὸς τῆς αὐτῆς οὐσίας καὶ φύσεώς ἐστι τῷ πατρί. «Πάντα, δέ φησι, δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν». Ἐν δὲ τῇ Σοφίᾳ γέγραπται, «ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου». Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, οὐχ ὡς δι' ὀργάνου ἢ δούλου, ἀλλ' ὡς δι' οὐσιώδους καὶ ἐνυποστάτου αὐτοῦ λόγου καὶ σοφίας καὶ δυνάμεως, || διὰ τὸ μίαν ἐν Πατρὶ καὶ Υἱῷ θεωρεῖσθαι τὴν ἐνέργειαν. Οὐ κτίσμα τοίνυν ὁ τῶν κτισμάτων ποιητής, ὡς καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, πρὸς τοῖς λοιποῖς, καὶ τοῦτο διέξεισι λέγων περὶ τοῦ Υἱοῦ οὕτως. «Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ πάντα κατασκευάσας Θεός. Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων, εἰς μαρτυρίαν τῶν λαληθησομένων, Χριστὸς δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ οὗ οἶκος ἐσμὲν ἡμεῖς». Ἐνταῦθα γὰρ πολλὴν τὴν διαφορὰν τίθησι μέσον Μωϋσέως, καὶ Χριστοῦ, ὅσον ὅτι ὁ μὲν Μωϋσῆς, φησίν, ὑπηρέτης καὶ δοῦλος καὶ κτιστός ἐστιν, ὁ δὲ Χριστὸς Κύριος καὶ ποιητής, καθὸ Υἱὸς Θεοῦ καὶ Θεός. Σαφὴς δὲ ἔλεγχος τοῖς αἱρετικοῖς καὶ τὸ τῶν Ἀποστόλων κήρυγμα· οὐ γὰρ ὡς εἰς ἄνθρωπον ψιλὸν τὸν Χριστὸν ἐκήρυττον τοῖς ἔθνεσι πιστεύειν, ἐπεὶ μάταιον τοῦτο καὶ καταγέλαστον, ἀλλ' ὡς Θεὸν

6) Ἰωάν. 1,18 8) Ἑβρ. 1, 3 14) Ἰωάν. 10, 30. 14, 10 19) αὐτ. 1, 3
20) Σοφ. Σολ. 9, 1 26) Ἑβρ. 3, 3—6.

Ε.Υ.Δ. της Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

ὄντα σεσαρκωμένον. Εἰ δὲ Θεὸν μὲν ὁμολογοῦσι τὸν Χριστόν, οὐχ ὅμοιον δὲ τῷ Πατρί, πολυθεΐαν αὖθις εἰσάγουσι κατὰ τοὺς Ἕλληνας. Ἀλλὰ πῶς, φασί, γέγραπται, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ», πῶς δὲ «πρωτότοκος πάσης κτίσεως» λέγεται παρὰ τῷ Ἀποστόλῳ, ‖ αὐτὸς δὲ ὁ Χριστὸς πῶς φησιν «ὁ Πατήρ μου μείζων μου ἐστίν»; Ἐντεῦθεν γὰρ δείκνυται, ὅτι κτιστός ἐστιν ὁ Υἱός· f 221v διὸ καὶ ὡς ἐλάττων παρὰ τοῦ Πατρὸς ἀποστέλλεσθαί φησι. Καὶ πρὸς ταῦτα ἀπολογούμεθα, ὅτι εἰ μὲν μονοφυῆ τὸν Χριστὸν ὡμολογοῦμεν, εἶχεν ἂν χώραν τὰ τούτων προβλήματα, εἰ δὲ διφυῆ, δῆλον ὅτι τὰ μὲν ὑψηλὰ καὶ ὑπέρογκα τῆς αὐτοῦ θεότητός εἰσι σημαντικά, τὰ δὲ ταπεινὰ καὶ εὐτελῆ τῆς ἀνθρωπότητος. Ἀλλὰ μὴ ἀπατῶ, ὅτι ὡς ἐπὶ παρεληλυθότος εἴρηται τὸ ἔκτισεν. Ἔθος γάρ ἐστι καὶ τοῦτο τῇ Γραφῇ, τὸ πολλάκις τὰ μέλλοντα ὡς παρεληλυθότα λαμβάνειν, οἷον καὶ τὸ ἐν ψαλμοῖς. «Ἐπὶ τῶν ποταμῶν, γάρ φησι, Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών», καίτοι μετὰ γενεῶν πολλῶν παραδρομὴν ἡ τῶν Ἰουδαίων εἰς Βαβυλῶνα μετοίκησις γέγονεν, ὅπερ ὁ προφήτης τοῖς νοεροῖς ὀφθαλμοῖς προορῶν, τῇ ἐνεργείᾳ δῆλα δὴ καὶ ἐλλάμψει τοῦ Ἁγίου Πνεύματος, καὶ ὅτι πάντως γενήσεσθαι ἐπιστάμενος, ὡς περὶ γενομένου τοῦ μήπω γεγονότος προηγόρευσεν. Ἔξεστι δὲ τὸ ἔκτισε καὶ ἀντὶ τοῦ κατέστησεν ἐκλαβεῖν· καὶ γὰρ ὁ προφήτης ‖ Δαυὶδ οὕτως αὐτὸ ἐξέλαβεν ἐν τῷ λέγειν, «καρ- f 222r δίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός». Ἐνταῦθα γὰρ τὸ κτίσον, ἀντὶ τοῦ κατάστησον παρείληφεν. Οὐ γὰρ δήπου ἑτέραν καρδίαν κτίσειν αὐτῷ εὔχεται ὁ προφήτης, ἀλλὰ τὴν οὖσαν αὐτῷ καταστῆσαι καθαράν. Πρωτότοκος δὲ λέγεται πάσης τῆς κτίσεως παρὰ τῷ Ἀποστόλῳ, ἀντὶ τοῦ πρὸ πάσης τῆς κτίσεως γεννηθεὶς παρὰ τοῦ Πατρός, ὡς καὶ ὁ Δαυὶδ ἐκ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς φησίν. «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε»· καὶ αὐτὸς ὁ παροιμιαστὴς ἐκ προσώπου τοῦ Υἱοῦ, «πρὸ δὲ πάντων βουνῶν γεννᾷ με». Τόκος δὲ καὶ γέννησις οὐκ ἄν ποτε ὀρθῶς ἐπὶ κτισμάτων λεχθείη, εἰ μή που ἀπορηματικῶς. Οὐ χαλεπὸν δὲ καὶ ὡς αἴτιον αὐτοῦ εἰπεῖν τὸν Πατέρα μείζονα. Ἐπεὶ δὲ καὶ ἀντίθεσις ἐδόκει τοὺς Ἰουδαίους καὶ πάντα ποιεῖν καὶ λέγειν ἐναντίως τῆς βουλῆς τοῦ Θεοῦ καὶ νομοθεσίας, τούτου χάριν αὐτὸς συνευδοκοῦντα αὐτῷ δεῖξαι βουλόμενος τὸν Πατέρα, ἀποστέλλεσθαι φάσκει παρ' αὐτοῦ. Ὡς καὶ τοῖς Ἀποστόλοις ἔλεγεν αὐτὸς ἀποστεῖλαι τὸ Πνεῦμα,

3) Παροιμ. 8, 22 4) Κολ. 1, 15 5) Ἰωάν. 14, 28 14) Ψαλμ. 136, 1. 21) Ψαλμ. 50, 12 27) Ψαλμ. 109, 3 29) Παροιμ. 8, 25. σχόλιον ἐν τῇ ᾤᾳ B, ἐλλεῖπον N: ἰστέον ὅτι τετραχῶς παρὰ τῇ Γραφῇ ἡ γέννησις· φυσικῶς,

οὐχ ὡς δοῦλον καὶ ὑπουργόν, ἀλλ' ὡς σύμβουλον καὶ ἔχων αὐτὸ συνευδοκοῦν 222v || κατὰ πάντα. Ὥστε συγκαταβάσεώς εἰσι τὰ ῥήματα, ὁμόνοιαν μᾶλλον δὲ οὖν καὶ συμφυΐαν δηλοῦντα, οὔ τινα ὑπεροχὴν ἢ ὑποταγὴν ἢ ὕφεσιν. Ὡς καὶ τῷ Ἰακὼβ συγκαταβαίνων ποτὲ ἐν τῷ παλαίειν αὐτῷ ὁ Θεὸς εἴρηκεν «ἀπόστειλόν με», ἤτοι ἔασον ἀπελθεῖν, οὐχ ὅτι ὁ Θεὸς ἐδέετο τῆς τοῦ Ἰακὼβ συγχωρήσεως, ἀλλ' οἰκονομικῶς τοῦτό φησι. Καθ' ὃν τρόπον καὶ τῷ Μωϋσεῖ, «ἔασόν με καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς ἐκτρίψω αὐτούς», τὸ μὲν ἀφορμὴν διδοὺς ἵνα εἴπῃ, «οὐ μὴ σὲ ἀποστείλω ἐὰν μὴ με εὐλογήσῃς», τὸ δὲ καὶ ὅπως ὑπερεύξηται τοῦ λαοῦ. Καὶ ταῦτα μὲν περὶ τοῦ Υἱοῦ.

Περὶ δὲ τοῦ Πνεύματός φησιν ὁ Ἰώβ. «Πνεῦμα Κυρίου τὸ ποιῆσάν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με». Ἐνταῦθα λοιπὸν φανερῶς Θεὸν αὐτὸ ὁμολογεῖ, ὡς ποιητὴν ἡμῶν καὶ προνοητήν, ὡς καὶ Δαυὶδ κτίστην οὐ κτίσμα, ἐν τῷ λέγειν. «Ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς». Ἀλλ' οὐδὲ τὸ τοῦ Πέτρου ἄξιον παραλιπεῖν, ὃ πρὸς τὸν δόλιον Ἀνανίαν ἀπεφήνατο· φησὶ γάρ. «Διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον· οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ». f 223r || Ἰδοὺ τοῦ Ἀποστόλου Θεὸν αὐτὸ ἀναφανδὸν καλέσαντος, πῶς ἐνδέχεται, κατὰ τοὺς αἱρετικούς, τὸ αὐτὸ καὶ Θεὸν εἶναι καὶ οὐ Θεόν, κτίστην τε καὶ κτίσμα; Πᾶν γάρ, κατὰ τὴν Γραφήν, ὅπερ οὐκ ἔστι Θεός, κτίσμα· ὅπερ δὲ οὐ κτίσμα, τοῦτο Θεός. Εἰ οὖν οὐκ ἔστι Θεὸς κτίσμα· ὅπερ δὲ οὐ κτίσμα, τοῦτο Θεός. Εἰ οὐκ ἔστι τὸ Πνεῦμα Θεός, πάντως κτιστόν· εἰ κτιστόν, δῆλον ὅτι καὶ δοῦλον· εἰ δὲ δοῦλον, πῶς ἐλευθεροῖ καὶ υἱοθετεῖ τοὺς εἰς αὐτὸ πιστεύοντας; «Ὅπου, γάρ φησι, Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία». Καὶ πάλιν. «Ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· ἀββᾶ ὁ πατήρ» καὶ τὰ ἑξῆς. Εἰ κτίσμα, πῶς ἀϊδίως ἐκ τοῦ Πατρὸς ἐκπορεύεται; «Τὸ Πνεῦμα, γάρ φησι, τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται». Οὐδαμοῦ δὲ ἐπὶ κτίσματος φαίνεται τοιοῦτον ῥῆμα ἢ

ὡς τὸ «ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε»· μιμητικῶς, ὡς τὸ «εἰ τέκνα Ἀβραὰμ ἦτε, τὰ ἔργα Ἀβραὰμ ἐποιεῖτε ἄν» καὶ τὰ ἑξῆς· κατὰ παιδείαν ἤτουν νουθέτησιν, ὡς τὸ «ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα»· ἀποφηματικῶς δέ ἐστι τὸ ἐκτὸς τῶν τριῶν τούτων τρόπων, ἤτοι ὅταν προβληματικῶς καὶ οὐ καταφατικῶς λέγεται, ὡς τὸ «τίς ὁ τετοκὼς βώλους δρόσου» (Ἰὼβ 38, 28). [5]) Γεν. 32, 26 [7]) Ἐξ. 32, 10 [11]) ἐν τῇ ᾠᾷ: κατὰ Μακεδονιανῶν. Ἰὼβ 38, 2 [14]) Ψαλμ. 103, 30 [17]) Πράξ. 5, 3. [20]) Β' Κορ. 3, 17 [26]) Ῥωμ. 8, 14 [30]) Ἰωάν. 15, 26.

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἁγία Γραφὴ λέγουσα. Εἰ μὴ Θεός, πῶς ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ; «Ἡμῖν, γάρ φησιν ὁ Ἀπόστολος, ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ· τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ». Εἰ μὴ Κύριος, πῶς γέγραπται ἐν ταῖς Πράξεσι τῶν σεβασμίων Ἀποστόλων, ὅτι «νηστευόντων αὐτῶν καὶ λειτουργούντων τῷ Κυρίῳ εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον, || ἀφορίσατε δή μοι τόν τε Παῦλον καὶ Βαρνάβαν εἰς τὸ f 223v ἔργον ὃ προσκέκλημαι αὐτούς»; Ἔδειξε γὰρ διὰ τοῦ εἰπεῖν «ἀφορίσατέ μοι» τὴν οἰκείαν ἐξουσίαν, ὡς αὐτὸ Θεὸς ὢν ἐνετέλετο αὐτοῖς· εἰ δ' ὡς κτίσμα ἦν παρὰ Θεοῦ ἐπεσταλμένον, εἶχεν ἂν εἰπεῖν, Κύριος εἶπεν, ἀφορίσατέ μοι τόνδε καὶ τόνδε. Ταῦτά τε καὶ ἕτερα πλεῖστά εἰσι τὰ μαρτυροῦντα Θεὸν ὁμοούσιον Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον. Ἀλλ' οὐδὲ τοῦτο ἡμᾶς λανθάνειν δεῖ, ὅτι πολλαχῶς παρὰ τῇ Γραφῇ τὸ Πνεῦμα λαμβάνεται· πνεῦμα γὰρ τὸ Πνεῦμα τὸ Ἅγιον, πνεῦμα καὶ ὁ ἄγγελος, πνεῦμα καὶ ἡ ψυχή, πνεῦμα ὁ δαίμων, πνεῦμα ὁ ἄνεμος, ἔσθ' ὅτε καὶ ὁ νοῦς εἴρηται πνεῦμα· καὶ ὡς ἔπος εἰπεῖν, πνεῦμά ἐστι πᾶν τὸ νοερὸν καὶ ἀσώματον. Διὸ καὶ ἡ Γραφὴ πολλάκις εἰς διαστολὴν τῶν διαφόρως νοουμένων πνευμάτων, ὅταν περὶ τοῦ Ἁγίου Πνεύματος βούληται εἰπεῖν, καὶ τὸ ἄρθρον προσλαμβάνει καὶ Πνεῦμα Ἅγιον αὐτὸ καλεῖ καὶ Πνεῦμα ἀληθείας καὶ Πνεῦμα Θεοῦ καὶ παράκλητον καὶ λοιπαῖς ὡσαύτως || προσηγορίαις. Διὸ χρὴ ἐν ταῖς διαλέξεσιν ἐρευνᾶν καὶ σκοπεῖν, περὶ τίνος πνεύματος τόδε ἢ τόδε φησὶν f 224r ἡ Γραφή.

Οἱ οὖν αἱρετικοὶ ἐντεῦθεν κραταιῶς ἐπιστομιζόμενοι καὶ ἑτέρως μεθοδεύονται, ἔλαττον Πατρὶ καὶ Υἱῷ ἀποδεῖξαι τὸ Πνεῦμα τὸ Ἅγιον, εἰ καὶ μὴ ἀριδήλως τοῦτο ὁμολογοῦσι· καὶ φασίν, ὅτι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται. Αἴτιος τοιγαροῦν ὁ Πατὴρ καὶ ὁ Υἱὸς τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα οὐδενὸς τούτων αἴτιον. Ὅσα δὲ ἐντεῦθεν παρακολουθεῖ τὰ ἀτοπήματα, οὐδὲ ἐξαριθμεῖν φορητόν. Καὶ πρῶτον, ὅτι δύο ἐντεῦθεν αἴτια καὶ δύο ἀρχαὶ ἐπὶ τῆς Ἁγίας Τριάδος καὶ διπλοῦν ἐξ ἀνάγκης τὸ Πνεῦμα καὶ σύνθετον ἐκ δυοῖν ἐκπορευόμενον. Εἰ δὲ μία ἡ ἐκπόρευσις τῶν δύο, συναλοιφὴ αὖθις τῶν προσώπων γενήσεται κατὰ τὸν Σαβέλλιον. Ἔπειτα, εἰ μὲν ὁμοίαν τῷ Πατρὶ ἔχειν φασὶ τὴν προβολὴν τοῦ Πνεύματος τὸν Υἱόν, ἰδοὺ τὸ ἰδικὸν κοινοῦται· ὅπερ γὰρ οὐκ ἔστι κοινὸν τοῖς τρισὶ προσώποις, τοῦτο ἴδιον· ὅπερ δὲ οὐκ ἴδιον ἑνός, τοῦτο κοινόν. Εἰ δ' ἐναντίαν || τραπέντες αὖθις φασιν, φθαρτικὴ πάντως ἡ ἑτέρα τῆς ἑτέρας γενήσεται καὶ f 224v ἀσύστατος ἑκατέρα. Εἰ δὲ καὶ τελεία ἡ ἐκ τοῦ Πατρὸς πρόοδος, ὡς

2) Α' Κορ. 2, 10-11.   5) Πράξ. 13, 2   23) ἐν τῇ ᾠᾳ : κατὰ Λατίνων.

καὶ ἔστι, περιττὴ πάντως ἡ ἐκ τοῦ Υἱοῦ· εἰ δ' ἀτελῆ ταύτην ὁμολογοῦσι, τί μὴ καὶ τὴν τοῦ Υἱοῦ γέννησιν; Εἰ δὲ προφανὴς ἐντεῦθεν ἡ ἀσέβεια, τὸ οὕτως ὁμολογεῖν ἐπὶ Θεοῦ, παυσάσθωσαν λοιπὸν τῆς ἐρεσχελίας, μᾶλλον δὲ βλασφημίας. Ἄλλως τε καὶ συνάναρχον ὁμολογοῦντες Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς καὶ ὁμολογουμένως ἐστίν, οὐ δυσχερὲς ἂν προσάψαι τούτῳ καὶ γέννησιν· ἐν ᾧ γὰρ ὁ Υἱὸς γεννᾶται, καὶ αὐτὸ ἂν εἴη συγγεννώμενον αὐτῷ, ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἐσχηκός. Ὁρᾷς λοιπὸν ὅση ἡ ἀτοπία, τὸ ὁμολογεῖν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα; Ἀλλ' ἡμεῖς γε οὐκ ἄν ποτε οὕτως ἠλίθιοι φανείημεν, τὸ Πνεῦμα τὸ Ἅγιον ἄνωθεν ὁρῶντες κατερχόμενον παρὰ τοῦ μαρτυροῦντος Πατρὸς ἐπὶ τὸν βαπτιζόμενον Υἱόν, μὴ ἐκ μόνου τοῦ Πατρὸς πρεσβεύειν ἐκπορευόμενον, ἀλλὰ διαιρεῖν τὸν ἕνα Χριστὸν εἰς δύο υἱούς, ὥστε τὸν Υἱὸν τοῦ Θεοῦ ἀποστέλλειν, κατ' αὐτούς, τὸ Πνεῦμα βαπτιζομένῳ ‖ τῷ τοῦ ἀνθρώπου υἱῷ, ὡς φρονεῖ Νεστόριος. Ἐκφαντικὸν γὰρ τοῦ ἀεὶ ὡσαύτως ἔχοντος ἦν τὸ τότε τελούμενον. Οἱ δὲ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα δοξάζοντες ὑπάρχειν, αὐτῷ τῷ Υἱῷ τῷ ἀληθεῖ Χριστῷ καὶ Θεῷ ἡμῶν προφανῶς καὶ ἀνέδην ἀντιδογματίζειν ἐπιχειροῦσιν οἱ τάλανες, καλῶς δογματίζοντι ἐκ μόνου τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα τὸ Ἅγιον.» Φησὶ γάρ. «Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ». Ἀλλ' οἱ γενναῖοι τὸ παρὰ τίνος ἐκπορεύεται ἀλογίστως ἐάσαντες ἐπὶ τὴν πέμψιν καταφεύγουσι, ταὐτὸν εἶναι πέμψιν καὶ ἐκπόρευσιν οἰόμενοι. Ἀλλ' εἰ ταὐτὸν ἄρα προβολὴ καὶ πέμψις, τίνος χάριν προσέθηκεν «ὑμῖν παρὰ τοῦ Πατρός»; Ἔδει γὰρ κατ' αὐτοὺς εἰπεῖν, ὃν ἐγὼ πέμψω καὶ ὁ Πατήρ. Εἰ ταὐτόν, τίνος ἕνεκεν δεύτερον εἰπὼν παρὰ τοῦ Πατρός, οὐκ εἶπεν καὶ παρ' ἐμοῦ; Μὴ γὰρ οὐκ ᾔδει τὰ μετὰ ταῦτα τούτου χάριν συμβησόμενα σκάνδαλα; Εἰ δὲ διὰ τὸ ἀνθρώπινον ἐρεῖς ταπεινούμενος οὐκ εἶπεν, ἆρ' οὐκ ἔστι ταὐτὸν τὸ ‖ πέμπειν καὶ ἐκπορεύειν. Ἐπεὶ πῶς πέμψειν εἴρηκεν, ἢ δῆλον ὅτι πέμπει μέν, οὐ παρ' ἑαυτοῦ δέ, ἀλλὰ παρὰ τοῦ Πατρός, ὥσπερ καὶ ἀκτὶς πέμπει τῇ περιγείῳ τὸ ἐκ τοῦ ἡλίου φῶς δι' αὐτῆς. Οὐ πᾶν γὰρ τὸ πεμπόμενον παρά τινος, ἀνάγκη πάντως καὶ

[8]) σχόλιον ἐν τῇ ῷα: τὸ συγγεννᾶσθαι οὐ μόνον ἐκ τοῦ Πατρὸς τοῦτο δεῖ νοεῖν, ἀλλὰ καὶ ἐκ τῆς Παρθένου. [19]) Ἰωάν. 15, 26 [23]) σχόλιον ἐν τῇ ῷα Ν, ἐλλεῖπον Β: εἰ ταὐτὸν προβολὴ καὶ πέμψις, αἴτιοι ἄρα οἱ Ἀπόστολοι τῆς ἐκπορεύσεως Πνεύματος· τοῦτο γὰρ βούλεται τὸ πέμψω ὑμῖν.

[16]) Αὐτῷ τῷ ἀληθεῖ Χριστῷ καὶ Θεῷ ἡμῶν] Ν [17]) ἀναίδην] Ν

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

παρ᾽ αὐτοῦ ἐκπορεύεσθαι. Διὸ καὶ ὁ Ἀπόστολος Κορινθίοις ἐπιστέλλων φησίν. «Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ». Ἐκ τοῦ Θεοῦ δὲ εἰπών, οὐδὲν ἄλλο ἐννοεῖν δίδωσιν, ἢ ὅτι ἐκ τοῦ Πατρός. Οὕτω γὰρ ἡ θεία Γραφὴ ἀορίστως πανταχοῦ Θεὸν ἁπλῶς τὸν Πατέρα καλεῖ, ὡς πηγὴν τῆς ὅλης θεότητος. Ἀλλὰ πῶς, φησίν, οὐκ εἶπεν, ὃ παρὰ μόνου τοῦ Πατρὸς ἐκπορεύεται, ὡς ὑμεῖς φατέ, ἀλλὰ παρὰ τοῦ Πατρὸς ἁπλῶς; Ἀλλ᾽ ὦ σοφιστά, ὅτι μὲν περὶ τῆς ἐκπορεύσεως τὸ ἐκ μόνου οὐ κεῖται οἶδας, ὅτι δὲ οὐδὲ περὶ τῆς γεννήσεως τοῦ Υἱοῦ ἐκ μόνου οὐ σύνοιδας; Εἰ δὲ τοῦτο τὴν ἐκ τοῦ Θεοῦ ὑφορώμενος ἀπειλὴν καὶ τοὺς ἐκεῖθεν σκηπτοὺς δεδιὼς εὐνοῶν ἐκλαμβάνεις, πανταχοῦ γὰρ τῆς Γραφῆς ἐκ τοῦ Πατρὸς μαρτυρούσης γεννᾶσθαι || τὸν Υἱόν, ἐκ τοῦ Πνεύματος δὲ οὐ- f 226r δαμοῦ, σαφῶς ἐκ μόνου τοῦ Πατρὸς διὰ τοῦτο ἀνακηρύττει, τί μὴ καὶ περὶ τοῦ Πνεύματος τοῦτο αὐτὸ ἐννοεῖς ἀναλόγως; Ὁ δὲ Δαυὶδ εἰς πλείονα ἔμφασιν τῆς ἐκ μόνου τοῦ Πατρὸς ὑπάρξεως καὶ πνεῦμα στόματος τοῦ Πατρὸς καλεῖ. «Τῷ λόγῳ, γάρ φησι, Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν». Σὺ δὲ ἀντὶ τοῦ ἐκ μόνου τοῦ Πατρός, καὶ ἐκ τοῦ Υἱοῦ προσέθηκας, καὶ τιμᾶν ἐντεῦθεν τὸν Υἱὸν δοξάζων, ὑβρίζεις ἄντικρυς, ἀντιδογματίζων αὐτῷ καὶ σεαυτὸν ἐκβιάζεις, ὥστε καὶ τῷ Πνεύματι προσθεῖναι τὴν τοῦ Υἱοῦ γέννησιν, ἵνα κἂν τούτῳ ὁμότιμον αὐτῷ τὸ Πνεῦμα ἀναδείξῃς, καὶ ἵνα μῦθος μᾶλλον ἢ ἀλήθεια τὸ καθ᾽ ἡμᾶς μυστήριον ἔσεται· καὶ τὰ παρὰ τῆς θεοπνεύστου Γραφῆς λαλούμενα παρείς, τῷ σῷ ματαίῳ λογισμῷ ἠκολούθησας· «δειλοὶ γάρ, κατὰ τὸν σοφόν, λογισμοὶ θνητῶν, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν». Ἀλλ᾽ ἵνα τί, φησί, καταυθαδιάζῃ ἡμῶν, ὡς ἐξ ἑαυτῶν λαλούντων, καίτοι τοῦ Χριστοῦ ἀριδήλως τὴν ἐξ ἑαυτοῦ τοῦ Πνεύματος ὕπαρξιν τοῖς ἰδίοις μαθηταῖς ἀπαγγείλαντος; «Ἐκ τοῦ ἐμοῦ, γάρ φησι, λήψεται καὶ ἀναγγελεῖ ὑμῖν»· καὶ τὸ || ἐμφυσῆσαι δὲ καὶ εἰπεῖν «λάβετε Πνεῦμα f 226v Ἅγιον», τὸ αὐτὸ ἡμῖν παρίστησι· καὶ τὸ παρὰ τῷ Ἀποστόλῳ εἰρημένον «ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ». Ταῦτά τε καὶ ἕτερα τοιαῦτα πανούργως καὶ παραλόγως προτείνουσιν, ὑποστηρίζειν ἐντεῦθεν τὸ οἰκεῖον δόγμα πειρώμενοι, καὶ νικᾶν μᾶλλον κακῶς θέλοντες ἢ νικᾶσθαι καλῶς. Ἀλλὰ περὶ τούτων βραχέα τινα λέξαντες, εἰ μὲν αὐτοὺς πείσομεν, εὖ ἂν ἔχοι, εἰ δ᾽ οὖν, αὐτοῖς χαίρειν φράσαντες καὶ τὸ πᾶν τῇ τούτων ἐπιτρέψαντες κεφαλῇ, τέλος ἐπιθεῖναι τῷ λόγῳ

²) Α΄ Κορ. 2,12 ¹⁶) Ψαλμ. 32, 6 ²⁴) Σοφ. Σολ. 9, 14 ²⁸) Ἰωάν. 16, 13
²⁹) αὐτ. 20, 22 ³¹) Γαλ. 4, 6.

Ε.Υ.Σ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006